Res Mn 8960/3

# ΙΟΥΣΤΙΝΟΥ

ΦΙΛΟΣΟΦΟΥ ΚΑῚ ΜΆΡΤΥΡΟΣ

περὶ θεοῦ μοναρχίας.

# Iustini Philosophi

ET MARTYRIS DE DEI MONARCHIA,

Siue

*Vetustissimorum poëtarum Græcorum de vno summo rerum moderatore Deo testimonia.*

PARISIIS

Apud Andream Wechelum, sub Pegaso, in vico Bellouaco, *Anno Salutis,*

1556.

# ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ μάρτυρος περὶ θεοῦ μοναρχίας.

Τῆς ἀνθρωπίνης φύσεως τὸ κατ' ἀρχὴν συζυγίαν συνέσεως καὶ σωτηρίας λαβούσης, εἰς ἐπίγνωσιν ἀληθείας, θρησκείας τε τῆς εἰς τὸν ἕνα καὶ πάντων δεσπότην, παρεισδῦσα εἰς εἰδωλοποιίας ἐξέτρεψε βασκανία τὸ ὑπερβάλλον τῆς τῶν ἀνθρώπων μεγαλειότητος, καὶ πολλῷ χρόνῳ μεῖναι τὸ παλαιὸν ἔθος, ὡς οἰκείαν καὶ ἀληθῆ τὴν πλάνην τοῖς πολλοῖς παραδίδωσι. φιλανθρώπου δέ, ἢ μᾶλλον φιλοθέου ἔργον οἶμαι, ὑπομνῆσαι τοὺς ἄπερ ὠφέλιμον εἰδέναι παραλελοιπότας. τὴν μὲν γὰρ καθ' αὑτὴν ἀρκετὴ ἡ ἀλήθεια δεικνύναι ἐκ τῶν συνεχόντων ὑπὸ τὸν πόλον τὴν τοῦ δημιουργήσαντος ταῦτα τάξιν. λήθη δὲ διὰ τὸ μακρόθυμον τοῦ θεοῦ περικρατήσασα τῆς τῶν ἀνθρώπων γνώμης, ἐρραδιούργησε τὸ μόνῳ τῷ ὄντως θεῷ πρέπον ὄνομα ἐπὶ θνητοὺς μεταφέρουσα· καὶ δι' ὀλίγων νομὴν πονηρίας ἔσχον οἱ πολλοί, ἀμαυρούμενοι τῇ εἰς τὸ βέβαιον καὶ ἄτρεπτον γνώσει, ἑλληνικὴ συνήθεια. οἱ μὲν γὰρ τὸ κατ' ἀρχὴν εἰς τιμὴν τῶν ὑπερεχόντων, τελετὰς καὶ λειτουργείας τελοῦντες, ἀμνηστίαν τοῖς μετ' αὐτοὺς τῆς καθολικῆς δόξης ἐνέβαλον. ἐγὼ δὲ ὡς μικρῷ πρόσθεν ὑπέστην, φιλοθέῳ τῇ γνώμῃ κεχρημένος, φιλανθρώπῳ χρήσομαι τῇ φωνῇ, καὶ παρίστημι τοῖς νοῦν ἔχουσι, δέον ὑπάρχειν πᾶσι τοῖς κεχρημένοις τῇ τῶν ὅλων διοικήσει, ἄτρεπτον ἔχειν τὴν εἰς τὸν πάντων γνώστην θρησκείαν. τοῦτο δὲ οὐ λόγῳ καλλωπίζων φράσω, ἀποδείξει δὲ τῇ ἐκ τῆς κατὰ τὸ παλαιὸν εἰς τὸ παντελὲς τῆς Ἑλληνικῆς ἱστορίας ῥήσει κεχρημένος, ἐκ τῶν πᾶσι κοινῇ δεδομένων γραμμάτων. ἐξ ὧν γὰρ οἱ πάνυ τὰς τῶν εἰδώλων θρησκείας νόμον τοῖς πολλοῖς παρέδωκαν, μαθόντες ἐξ αὐτῶν ἀγνῶτες νοῦ ἐλεγχθήσονται ὑπὸ τῆς παρ' αὐτοῖς

Sapientia et Religio simul junctae veritatis cognitionem afferunt.

ποιητῶν καὶ μελογράφων. πρῶτος μὲν γὰρ Αἰσχύλος τὴν τῶν καθ' αὐτὸν λόγων σύνταξιν ἐκθεὶς, καὶ περὶ θεοῦ τοῦ μόνου ἐξήνεγκε φωνὴν, ὡς λέγει,

χώριζε θνητῶν θεὸν, καὶ μὴ δόκει
ὅμοιον σαυτῷ σάρκινον καθεστάναι.
οὐκ οἶσθα δ' αὐτόν· ποτὲ μὲν ὡς πῦρ φαίνεται
Ἄπλατος ὁρμὴ, ποτὲ δ' ὕδωρ, ποτὲ γνόφος,
καὶ θηρσὶν αὐτὸς γίνεται παρεμφερὴς,
Ἀνέμῳ, νεφέλῃ τε, κἀστραπῇ, βροντῇ, βροχῇ.
Ὑπηρετεῖ δ' αὐτῷ θάλασσα, καὶ πέτραι,
καὶ πᾶσα πηγὴ, καὶ ὕδατος συστήματα.
Τρέμει δ' ὄρη, καὶ γαῖα, καὶ πελώριος
Βυθὸς θαλάσσης, κὠρέων ὕψος μέγα,
ὅταν ἐπιβλέψῃ γοργὸν ὄμμα δεσπότου·
Πάντα δύναται γάρ. δόξα δὲ ὑψίστου θεοῦ.

οὐ μόνον δὲ οὗτος τὴν περὶ θεοῦ ἐμυήθη γνῶσιν, ἀλλὰ καὶ Σοφοκλῆς τὴν τοῦ μόνου ποιητοῦ τῶν ὅλων καὶ ἑνὸς θεοῦ ἱστορεῖ τάξιν οὕτως,

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν θεὸς,
ὃς οὐρανόν τ' ἔτευξε, καὶ γαῖαν μακρὰν,
Πόντου τε χαροπὸν οἶδμα, κἀνέμων βίας.
Θνητοὶ δὲ πολλοὶ καρδίαν πλανώμενοι
Ἱδρυσάμεσθα πημάτων παραψυχὰς
Θεῶν ἀγάλματ' ἐκ λίθων, ἢ χαλκέων,
Ἢ χρυσοτεύκτων, ἢ ἐλεφαντίνων τύπους,
Θυσίας τε τούτοις, καὶ καλὰς πανηγύρεις
Τεύχοντες, οὕτως εὐσεβεῖν νομίζομεν.

Ἀλλὰ καὶ Φιλήμων τὰ ἀρχαῖα εὐπορήσας φράσαι, κοινωνεῖ

τῇ περὶ

τῇ περὶ τῶν ὄντων γνώσει, ὡς γράφει,

θεὸν δὲ ποῖον, εἰπέ μοι, νομιστέον;
τὸν πάνθ' ὁρῶντα, καὐτὸν οὐχ ὁρώμενον.

Μαρτυρήσει δέ μοι καὶ Ὀρφεὺς ὁ παρεισάγων τοὺς τριακοσίους ἑξήκοντα θεοὺς ἐν τῷ Διαθήκαις ἐπιγραφομένῳ βιβλίῳ, ὁπότε μετανοῶν ἐπὶ τούτῳ φαίνεται ἐξ ὧν γράφει,

Μουσαῖε, ἐξερέω γὰρ ἀληθέα, μηδέ σε τὰ πρὶν
ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ,
εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος, εὖ τ' ἐπίβαινε
ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα.
εἷς ἔστ' αὐτογενής, ἑνὸς ἔκγονα πάντα τέτυκται·
ἐν δ' αὐτοῖς αὐτὸς περιγίγνεται, οὐδέ τις αὐτὸν
εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται.
οὗτος ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι δίδωσι,
καὶ πόλεμον κρυόεντα, καὶ ἄλγεα δακρυόεντα.
οὐδέ τις ἔσθ' ἕτερος, χωρὶς μεγάλοιο ἄνακτος·
αὐτὸν δ' οὐχ ὁρόω· περὶ γὰρ νέφος ἐστήρικται· Ipsum autem haud video; nam hunc circum est condita nubes.
πᾶσι γὰρ θνητοῖς θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις,
ἀσθενέες δ' ἰδέειν τὸν διὰ πάντων μεδέοντα.
οὗτος γὰρ χάλκειον ἐπ' οὐρανὸν ἐστήρικται,
χρυσέῳ ἐνὶ θρόνῳ, γαίης δ' ἐπὶ ποσσὶ βέβηκε,
χεῖρά τε δεξιτερὴν ἐπὶ τέρματος ὠκεανοῖο
πάντοθεν ἐκτέτακεν. περὶ γὰρ τρέμει οὔρεα μακρά,
καὶ ποταμοί, πολιῆς τε βάθος χαροποῖο θαλάσσης.

Καὶ ταῦτα οὕτως φράζει, ὡς αὐτόπτης γεγονὼς τοῦ μεγέθους θεοῦ. Κοινωνεῖ δ' αὐτῷ καὶ Πυθαγόρας ἐν οἷς γράφει,

Εἴ τις ἐρεῖ, θεός εἰμι παρὲξ ἑνός, οὗτος ὀφείλει

κόσμον ἴδιον τούτῳ στήσας εἰπεῖν, ἐμὸς οὗτος,
κοὐχὶ μόνον στήσας εἰπεῖν ἐμός, ἀλλὰ καὶ δικαίαν
Αὐτὸς ἐν ᾧ περιήκει, περιῆκται δ' ἄλλα τούτου,
καὶ περὶ τῶνδε.

ὅτι μόνος δυνατός ἐστι, καὶ τῶν ἐν τῷ βίῳ συντελουμένων πράξεων, καὶ τῆς περὶ τὸ θεῖον ἀγνωσίας κρίσιν ἐνστήσασθαι, οἰκείους μάρτυρας παραστῆσαι ἔχω· καὶ πρῶτόν γε Σοφοκλέα καὶ περὶ τούτου λέγοντα,

Ἔσται γὰρ ἔσται κεῖνος αἰώνων χρόνος,
ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ
χρυσωπὸς αἰθήρ, ἡ δὲ βοσκηθεῖσα φλὸξ
Ἅπαντα τὰ ἐπίγεια καὶ μετάρσια
φλέξει μανεῖσα· ὅταν δ' ἐκλίπῃ τὸ πᾶν,
φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθός,
Γῆ δ' ἑδράνων ἔρημος, οὐδ' ἀὴρ ἔτι
πτερωτὰ φῦλα βαστάσει πυρουμένος.
καὶ γὰρ καθ' ᾅδην δύο τρίβους νομίζομεν,
μίαν δικαίων, χ' ἁτέραν τὴν ἀδίκων,
Εἶναί τε ὅρον, κἄπειτα σώσει πάνθ' ἃ πρόσθ' ἀπώλεσεν.

ἀλλὰ καὶ Φιλήμων πάλιν,

οἴει σὺ τοὺς θανόντας, ὦ Νικόστρατε,
τρυφῆς ἁπάσης μεταλαβόντας ἐν βίῳ,
καὶ γῆν καλύψειν, ὡς ἀπὸ τοῦ πάντ' εἰς χρόνον
πεφευγέναι τὸ θεῖον ὡς λεληθότας;
Ἔστιν δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ.
Εἰ γὰρ ὁ δίκαιος καὶ ἀσεβὴς ἕξουσιν ἕν,
Ἅρπαζ' ἀπελθών, κλέπτ', ἀποστέρει, κύκα·
μηδὲν πλανηθῇς· ἔστι κἀν ᾅδου κρίσις,
ἥνπερ ποιήσει θεὸς ὁ πάντων δεσπότης,

οὐ τοὐ-

οὗ τοὔνομα φοβερὸν, οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ. יְהוָה

Καὶ Εὐριπίδης,

Ἄφθονον βίου μῆκος δίδωσι πρὸς κρίσιν.
ὅς τις δὲ θνητῶν οἴεται τοὐφ' ἡμέραν,
κακόν τι πράσσων τὸν θεὸν λεληθέναι,
δοκεῖ πονηρὸς, καὶ δοκῶν ἁλίσκεται,
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ δίκη.
ὁρᾶθ' ὅσοι νομίζετ' οὐκ εἶναι θεὸν,
δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως.
ἔστιν γὰρ ἔστιν· εἰ δέ τις πράσσει κακῶς,
κακὸς πεφυκὼς, τὸν χρόνον κερδαινέτω,
χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην.

Καὶ ὅτι οὐ σπονδῇ καὶ θυμιάματι κακούργων προσφέρεται ὁ θεὸς, ἀλλ' εὐθύτητι τὰς τιμωρίας προσνέμει ἑκάστῳ, μαρτυρήσει μοι Φιλήμων πάλιν,

εἴ τις θυσίαν προσφέρων, ὦ Πάμφιλε,
ταύρων τι πλῆθος, ἢ ἐρίφων, ἢ νὴ Δία
ἑτέρων τοιούτων, ἢ κατασκευάσματα,
χρυσᾶς ποιήσας χλαμύδας, ἤτοι πορφύρας,
ἢ δι' ἐλέφαντος, ἢ σμαράγδου ζώδια,
εὔνουν νομίζει τὸν θεὸν καθιστάναι,
πλανᾶτ' ἐκεῖνος, καὶ φρένας κούφας ἔχει.
δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον καθιστάναι,
μὴ παρθένους φθείροντα, καὶ μοιχώμενον,
κλέπτοντα, καὶ σφάζοντα χρημάτων χάριν,
τἀλλότρια βλέποντα, κἀπιθυμοῦντα
ἤτοι γυναικὸς πολυτελοῦς, ἢ δώματος,
ἢ κτήσεως, παιδός τε, παιδίσκης θ' ἁπλῶς,

ἵππων, βοῶν τε σύνολον ἢ κτηνῶν τι δή·
μηδὲ βελόνης ἐν ἅμμ᾽ ἐπιθυμήσῃς Πάμφιλε.
ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρών,
ὃς ἔργοις δικαίοις ἥδεται, οὐκ ἀδίκοις·
Γονοῦντα δ᾽ ἐᾷ τὸν ἴδιον ὑψῶσαι βίον,
τὴν γῆν ἀροῦντα νύκτα καὶ τὴν ἡμέραν.
θεῷ δὲ θῦε διὰ τέλους δίκαιος ὤν,
μὴ λαμπρὸς ὢν χλαμύσιν ὡς τῇ καρδίᾳ.
βροντῆς ἀκούσας μηδαμῶς πόρρω φύγῃς,
μηδὲν συνειδὼς αὐτὸς σαυτῷ δέσποτα,
ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρών.

Πάλιν ὁ Πλάτων ἐν Τιμαίῳ· εἰ δέ τις τούτων τῶν ἔργων σκοπούμενος λαμβάνοιτο, τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη τὸ διάφορον, ὅτι θεὸς μὲν τὰ πάντα εἰς ἓν συγκεραννύναι, ἱκανῶς ἐπιστάμενος ἅμα καὶ δυνατὸς ὤν. ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων οὔτ᾽ ἐστὶ νῦν, οὔτ᾽ εἰσαῦθις ἔσται ποτέ. περὶ δὲ τῶν δοκούντων παρά τισι μετέχειν τοῦ ἁγίου καὶ τελείου ὀνόματος, ὅπερ παραδόσει ματαίᾳ τινὲς ἀπηνέγκαντο ὡς θεῷ, Μένανδρος ἐν Ἡνιόχῳ λέγει,

οὐθείς μ᾽ ἀρέσκει περιπατῶν ἔξω θεός,
οὐδεὶς οἰκίαν παρειπὼν ἐπὶ τοῦ σανιδίου·
τὸν δίκαιον δεῖ θεὸν
οἴκοι μένειν σώζοντα τοὺς ἱδρυμένους.

ὁ αὐτὸς Μένανδρος ἐν Ἱερείᾳ,

οὐθεὶς δι᾽ ἀνθρώπου θεὸς σώζει γύναι,
ἑτέρου τὸν ἕτερον. εἰ γὰρ ἕλκει τινὰ θεὸν
τοῖς κυμβάλοις ἄνθρωπος εἰς ὃ βούλεται,
ὁ τοῦτο ποιῶν, ἐστὶ μείζων τοῦ θεοῦ.

Ἀλλ' ἔστι τόλμης καὶ βίου ταῦτ' ὄργανα,
Εὑρήματ' ἀνθρώποις ἀναιδέσιν ῥόδη
Εἰς καταγέλωτα τῷ βίῳ πεπλασμένα.

Ἐν Μισουμένῳ δὲ πάλιν ἀποφαίνων τὴν εἰς θεοὺς παραλαμβανομένων τὰς γνώμας, μᾶλλον δὲ ἐλέγχων ὡς οὐκ ὄντας, ὁ αὐτὸς Μένανδρος,

Εἰ γὰρ ἐπίδοιμι τοῦτο, καὶ ψυχὴν
λάβοιμ' ἐγώ. νυνὶ γὰρ, ἀλλὰ τοὺς θεοὺς
οὕτως δικαίους ὅσιν εὑρεῖν, ὦ Γέτα.

Καὶ ἐν Παρακαταθήκῃ,

Ἔστιν κρίσις ἄδικος, ὡς ἔοικε, κἀν θεοῖς.

Καὶ Εὐριπίδης ὁ τραγῳδιογράφος ἐν Ὀρέστῃ,

Φοῖβος κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον,
Ἀμαθέστερος γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης·
Δουλεύομεν θεοῖς, ὅ,τι ποτ' εἰσὶ θεοί.
ὁρᾷς δ' Ἀπόλλων' ὃς μεσομφάλους ἕδρας
Ναίων, βροτοῖσι στόμα νέμει σαφέστατον,
ᾧ πειθόμεσθα πάνθ' ὅσ' ἂν ἐκεῖνος λέγῃ.
τούτῳ πειθόμενος τὴν τεκοῦσαν ἔκτανον.
Ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον, καὶ κτείνετε·
Ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ. τί χρή με δρᾶν;
Ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
Μίασμα, σῶσαι. Ὁ αὐτὸς καὶ ἐν Ἱππολύτῳ·
Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα κρίνουσιν θεοί.

Καὶ ἐν τῷ Ἴωνι.

Ἀτὰρ θυγατρὸς τῆς Ἐρεχθέως τί μοι
Μέλει; προσήκει μ' οὐδὲν, ἀλλὰ χρυσέοις
τροχοῖσιν κ' εἰς ἀπορραντήρια
Δρόσον καθήσω, οὐ θετητὴς δέ μοι

φοῖβός τε παρέχει, παρθένους βίᾳ γαμῶν,
προδίδωσι παῖδας ἐκτεκνούμενος λάθρᾳ,
θνήσκοντας ἀμελεῖ, μὴ σύ γε, ἀλλ' ἐπεὶ κρατεῖς,
ἀρετὰς δίωκε· καὶ γὰρ ὅς τις ἂν βροτῶν
κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί.
πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς
γράψαντας, αὐτοὺς ἀδικίας ὀφλισκάνειν;
εἰ δ' οὐ παρέσται, τῷ λόγῳ δὲ χρήσομαι,
δίκας βιαίων δώσετ' ἀνθρώποις γάμων,
σὺ, καὶ Ποσειδῶν, Ζεὺς θ' ὃς οὐρανοῦ κρατεῖ.
ναοὺς τίνοντες ἀδικίας κενώσετε.
τὰς ἡδονὰς γὰρ τῆς προμηθίας πέρας
σπεύδοντες, ἀδικεῖτ'· οὐκέτ' ἀνθρώπους κακοὺς
λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν καλὰ
μιμούμεθα, ἀλλὰ τοὺς διδάξαντας τάδε.

καὶ ἐν Ἀρχελάῳ,

πολλοῖς τέχνων σφάλλουσιν ἀνθρώπους θεοί.

καὶ ἐν Βελλεροφόντῃ,

εἰ θεοί τι δρῶσι φαῦλον, οὐκ εἰσὶ θεοί.

καὶ πάλιν ἐν τῷ αὐτῷ,

φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς,
οὐκ εἰσὶν, οὐκ εἴσ', εἴ τις ἀνθρώπων λέγει,
μὴ τῷ παλαιῷ μῶρος ὢν χρήσθω λόγῳ.
σκέψασθε δ' αὐτὰ μὴ 'πὶ τοῖς ἐμοῖς λόγοις,
γνώμην ἔχοντες, φήμ' ἐγὼ τυραννίδα
κτείνειν τε πλείστους, κτημάτων τ' ἀποστερεῖν,
ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις.
καὶ ταῦτα δρῶντες, μᾶλλον εἴσ' εὐδαίμονες
τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν.

πόλεις τε μικρὰς οἶδα τιμώσας θεοὺς,
αἳ μειζόνων κλύουσι, δυσσεβεστέρων
λόγχης ἀριθμῷ πλείονος κρατούμεναι.
οἶμαι δ᾽ ἂν ὑμᾶς εἴ τις ἀργὸς ὢν θεοῖς
εὔχοιτο, καὶ μὴ χειρὶ συλλέγοι βίον,
τὰ θεῖα πυργοῦσιν αἱ κακαί τε συμφοραί.

Καὶ Μένανδρος ἐν Διφίλῳ,

Διὸ τὸν ὄντα κύριον πάντων ἀεὶ,
καὶ πατέρα, τοῦτον διὰ τέλους τιμᾶν μόνον,
ἀγαθῶν τοσούτων εὑρετὴν καὶ κτίστορα.

ὁ αὐτὸς καὶ ἐν Ἁλιεῦσι,

τὸ γὰρ τρέφον με, τοῦτ᾽ ἐγὼ
κρίνω θεόν· τὸ δ᾽ εἰθισμένον φέρειν
οὐ δεῖται τοῦ παρὰ τοῦ δεομένου χορηγίας.

ὁ αὐτὸς ἐν Ἀδελφοῖς,

Θεός ἐστι τοῖς χρηστοῖς ἀεὶ,
ὁ νοῦς γὰρ ὡς ἔοικεν οἱ σοφώτατοι.

Καὶ ἐν Αὐλητρίσι,

πάντ᾽ ἐστὶ τῷ καλῷ λόγῳ
ἱερόν, ὁ νοῦς γάρ ἐστιν ὁ λαλήσων θεός.

Ἐν Φρίξῳ ὁ τραγικὸς,

εἰ δ᾽ εὐσεβὴς ὢν τοῖς δυσσεβεστάτοις
ἐς αὐτὸ ἔπρασσον, πῶς τάδ᾽ ἂν καλῶς ἔχει,
εἰ Ζεὺς ὁ λῷστος, μηδὲν ἔνδικον φρονεῖ.

Ἐν Φιλοκτήτῃ,

ὁρᾶτε δ᾽ ὡς κἀν θεοῖσι κερδαίνειν
καλόν. θαυμάζεται δ᾽ ὁ πλεῖστον ἐν ναοῖς
ἔχων χρυσόν. τί δῆτα καί σε κωλύει,
κέρδος παρόν γε, κ᾽ ἐξομοιοῦσθαι θεοῖς;

ἐν Ἑκάβῃ,

Ζεὺς ὅστις εἶ, Ζεύς· οὐ γὰρ οἶδα πλὴν λόγῳ,
καὶ Ζεὺς εἴτ' ἀνάγκη φύσεως, εἴτε νοῦς βροτῶν,
προσηυξάμην σε.

Ἐνταῦθα τοίνυν ἐστὶν ἔλεγχος ἀρετῆς γνώμης σύνεσιν ἀγαπώσης, ἐπαναδραμεῖν ἐπὶ τῆς συζυγίας κοινωνίαν, καὶ προστάξαι ἑαυτὸν συνέσει εἰς σωτηρίαν, αἱρεῖσθαί τε τὴν τῶν κρειττόνων ἐκλογήν, κατὰ τὸ ἐπ' ἀνθρώπῳ κείμενον αὐτεξούσιον, μὴ τοὺς ἀνθρωποπαθεῖς ἡγουμένους τῶν ὅλων δεσπότας, ὅπου γε οὐδὲ ἀνθρώποις ἴσην ἔχοντες φανήσονται. παρ' Ὁμήρῳ γὰρ ὁ μὲν Δημόδοκος αὐτοδίδακτός φησιν εἶναι,

θεὸς δέ μοι ἔμβαλεν οἴμους.

Θνητὸς ὢν Ἀσκληπιὸς καὶ Ἀπόλλων, παρὰ Χείρωνι τῷ κενταύρῳ ἰᾶσθαι διδάσκονται, τὸ καινότατον πρὸ ἀνθρώπων θεοί. τί γὰρ δεῖ με περὶ Διονύσου, ὃν μαινόμενόν φησιν ὁ ποιητής· ἢ Ἡρακλέους, ὃν καὶ αὐτὸν σχέτλιον λέγει. τί δέ μοι ἀναγορεύειν Ἄρη καὶ Ἀφροδίτην τοὺς τῆς μοιχείας ἀρχηγούς, καὶ διὰ ἁπάντων τούτων κρίσιν ἐπάγειν τοῖς δεικνυμένοις. εἰ γάρ τις μὴ μαθὼν τὰς περὶ τὰ λεγόμενα θείας πράξεις μιμήσαιτο, κἂν ἐπὶ τῶν κιβδήλων ἀλλότριος βίου, καὶ ἀνθρωπότητος λογισθείη· γνοὺς δέ τις, εὔλογον ἕξει τὴν τῶν τιμωριῶν ἀποφυγήν, οὐ παρανομίαν δεικνύων τὴν τῶν θείων τολμημάτων μίμησιν. εἰ δ' ἄρα τις τοῖς ἔργοις ἐπιμέμψαιτο, ἀνελεῖ καὶ τὰ ἐκ τούτων γνωσθέντα ὀνόματα, καὶ μηδὲ πιθανωμέναις τοῖς ὡμύλοις ῥήσεσιν ἐπισκεπάσει αὐτοῖς. ἀσπάζεσθαι δὲ χρὴ τὸ ἀληθινὸν καὶ ἄτρεπτον ὄνομα, οὐχὶ διὰ τῆς ἐμῆς φωνῆς μόνον, ἀλλὰ καὶ διὰ τῶν εἰσαγαγόντων ἡμᾶς εἰς τὴν ἀρχὴν τῆς παιδείας κηρυσσόμενον, ἵνα μὴ ἀργῶς πλειώσαντες τὸν ἐνταῦθα τοῦ ζῆν χρόνον, οὐ μόνον ὡς ἀγνῶτες τῆς οὐρανίου δόξης, ἀλλὰ καὶ ὡς ἀχάριστοι τῷ κριτῇ τὰς εὐθύνας παρέξωμεν.

τέλος.